Δέλτα ἐς θάλασσαν ἐξίει, οὔτε ἐλαχίστην μοῖραν τοῦ
ὕδατος παρεχόμενος ταύτῃ οὔτε ἥκιστα ὀνομαστήν, τὸ
5 καλέεται Σεβεννυτικὸν στόμα. ἔστι δὲ καὶ ἕτερα διφάσια
στόματα ἀπὸ τοῦ Σεβεννυτικοῦ ἀποσχισθέντα φέροντα ἐς
θάλασσαν, τοῖσι οὐνόματα κεῖται τάδε, τῷ μὲν Σαϊτικὸν
6 αὐτῶν, τῷ δὲ Μενδήσιον. τὸ δὲ Βολβίτινον στόμα καὶ
τὸ Βουκολικὸν οὐκ ἰθαγενέα στόματά ἐστι ἀλλ' ὀρυκτά.
18 μαρτυρέει δέ μοι τῇ γνώμῃ, ὅτι τοσαύτη ἐστὶ Αἴγυπτος
ὅσην τινὰ ἐγὼ ἀποδείκνυμι τῷ λόγῳ, καὶ τὸ Ἄμμωνος χρη-
στήριον γενόμενον, τὸ ἐγὼ τῆς ἐμεωυτοῦ γνώμης ὕστερον
2 περὶ Αἴγυπτον ἐπυθόμην. οἱ γὰρ δὴ ἐκ Μαρέης τε πόλιος
καὶ Ἄπιος οἰκέοντες Αἰγύπτου τὰ πρόσουρα Λιβύῃ, αὐτοί
τε δοκέοντες εἶναι Λίβυες καὶ οὐκ Αἰγύπτιοι καὶ ἀχθόμενοι
τῇ περὶ τὰ ἱρὰ θρησκείῃ, βουλόμενοι θηλέων βοῶν μὴ
ἔργεσθαι, ἔπεμψαν ἐς Ἄμμωνα φάμενοι οὐδὲν σφίσι τε
καὶ Αἰγυπτίοισι κοινὸν εἶναι· οἰκέειν τε γὰρ ἔξω τοῦ Δέλτα
καὶ οὐδὲν ὁμολογέειν αὐτοῖσι, βούλεσθαί τε πάντων σφίσι
3 ἐξεῖναι γεύεσθαι. ὁ δὲ θεός σφεας οὐκ ἔα ποιέειν ταῦτα,
φὰς Αἴγυπτον εἶναι ταύτην τὴν ὁ Νεῖλος ἐπιὼν ἄρδει,
καὶ Αἰγυπτίους εἶναι τούτους οἳ ἔνερθε Ἐλεφαντίνης πόλιος
οἰκέοντες ἀπὸ τοῦ ποταμοῦ τούτου πίνουσι. οὕτω σφι
19 ταῦτα ἐχρήσθη. ἐπέρχεται δὲ ὁ Νεῖλος, ἐπεὰν πληθύῃ,
οὐ μοῦνον τὸ Δέλτα ἀλλὰ καὶ τοῦ Λιβυκοῦ τε λεγομένου
χωρίου εἶναι καὶ τοῦ Ἀραβίου ἐνιαχῇ καὶ ἐπὶ δύο ἡμερέων
ἑκατέρωθι ὁδόν, καὶ πλεῦν ἔτι τούτου καὶ ἔλασσον. τοῦ
ποταμοῦ δὲ φύσιος πέρι οὔτε τι τῶν ἱρέων οὔτε ἄλλου
2 οὐδενὸς παραλαβεῖν ἐδυνάσθην. πρόθυμος δὲ ἔα τάδε παρ'

1 μοίρην D 2 ταύτην AB 4 εἰς R 5 κέεται L τὸ D
6 τῷ] τὸ D 7 ἰθαιγ. D (αι ex corr. m. 1) PS : ἰσθαιγ. RV 8 μαρ-
τυρεῖ RV μου dP 9 τινὰ om. a 10 τῇ(ι)σι ἐμ. γνώμῃ(ι)σι
L : corr. Valckenaer 13 ἀχθόμενοι] οὐκ ἀ. aP² 14 θρη(ι)σκείηι
aP : θρεσκείᾳ Bekk. Anecd. 99 : θρησκίῃ d βουλόμενοί ⟨τε⟩ Reiske
15 ἔργεσθαι CP : εἰργ. rell. Ἄμμωνος Kallenberg 17 οὐκ a
18 ἐᾶ D 20 ἔνερθεν DPRV 22 πληθύ + η D 23 μόνον L
24 χώρου d (ex corr. D¹) P 25 πλέον a alt. καὶ om. SV
26 ἱερέων V



αὐτῶν πυθέσθαι, ὅ τι κατέρχεται μὲν ὁ Νεῖλος πληθύων
ἀπὸ τροπέων τῶν θερινέων ἀρξάμενος ἐπὶ ἑκατὸν ἡμέρας,
πελάσας δὲ ἐς τὸν ἀριθμὸν τουτέων τῶν ἡμερέων ὀπίσω
ἀπέρχεται ἀπολείπων τὸ ῥέεθρον, ὥστε βραχὺς τὸν χει-
μῶνα ἅπαντα διατελέει ἐὼν μέχρι οὗ αὖτις τροπέων τῶν
θερινέων. τούτων ὦν πέρι οὐδενὸς οὐδὲν οἷός τε ἐγενόμην 3
παραλαβεῖν [παρὰ] τῶν Αἰγυπτίων, ἱστορέων αὐτοὺς ἥντινα
δύναμιν ἔχει ὁ Νεῖλος τὰ ἔμπαλιν πεφυκέναι τῶν ἄλλων
ποταμῶν. ταῦτά τε δὴ [τὰ λελεγμένα] βουλόμενος εἰδέναι
ἱστόρεον καὶ ὅ τι αὔρας ἀποπνεούσας μοῦνος πάντων
ποταμῶν οὐ παρέχεται.
Ἀλλὰ Ἑλλήνων μέν τινες ἐπίσημοι βουλόμενοι γενέσθαι 20
σοφίην ἔλεξαν περὶ τοῦ ὕδατος τούτου τριφασίας ὁδούς,
τῶν τὰς μὲν δύο [τῶν ὁδῶν] οὐδ' ἀξιῶ μνησθῆναι εἰ μὴ
ὅσον σημῆναι βουλόμενος μοῦνον. τῶν ἡ ἑτέρη μὲν λέγει 2
τοὺς ἐτησίας ἀνέμους εἶναι αἰτίους πληθύειν τὸν ποταμόν,
κωλύοντας ἐς θάλασσαν ἐκρέειν τὸν Νεῖλον. πολλάκις δὲ
ἐτησίαι μὲν οὐκ ὦν ἔπνευσαν, ὁ δὲ Νεῖλος τὠυτὸ ἐργά-
ζεται. πρὸς δέ, εἰ ἐτησίαι αἴτιοι ἦσαν, χρῆν καὶ τοὺς 3
ἄλλους ποταμούς, ὅσοι τοῖσι ἐτησίῃσι ἀντίοι ῥέουσι, ὁμοίως
πάσχειν καὶ κατὰ ταὐτὰ τῷ Νείλῳ, καὶ μᾶλλον ἔτι τοσούτῳ
ὅσῳ ἐλάσσονες ἐόντες ἀσθενέστερα τὰ ῥεύματα παρέχονται.
εἰσὶ δὲ πολλοὶ μὲν ἐν τῇ Συρίῃ ποταμοί, πολλοὶ δὲ ἐν τῇ
Λιβύῃ, οἳ οὐδὲν τοιοῦτο πάσχουσι οἷόν τι καὶ ὁ Νεῖλος.
ἡ δ' ἑτέρη ἀνεπιστημονεστέρη μέν ἐστι τῆς λελεγμένης, 21
λόγῳ δὲ εἰπεῖν θωμασιωτέρη, ἣ λέγει ἀπὸ τοῦ Ὠκεανοῦ
ῥέοντα αὐτὸν ταῦτα μηχανᾶσθαι, τὸν δὲ Ὠκεανὸν γῆν
περὶ πᾶσαν ῥέειν. ἡ δὲ τρίτη τῶν ὁδῶν πολλὸν ἐπιει- 22

2 θερινῶν dP 3 πέλας AB ἐς om. R τὸν] τῶν R
4 ἀπολειπον D¹ 5 μέχρις L 6 τουτέων dP 7 παρὰ
del. Krueger 9 τὰ λεγόμενα dBP : del. Krueger 10 ἀπο-
πνεούσης R ποταμῶν πάντων a 13 τούτου om. R 14 τῶν
ὁδῶν del. Dietsch οὐκ aD 16 ἐτισίας D¹ πληθύ + ειν D
17 κολούοντας γρ. P^m 18 ἐτησίαι] ε in lit. 2 litt. D² 20 ἐτη-
σίοισι SV 21 κατὰ τὰ αὐτὰ a : κατ' αὐτὰ R 24 τοιοῦτον RSV
25 ἀνεπιστημοτέρη d λεγομένης D, corr. D¹ 26 θωυμ. dCP
28 πολλῶν R

κεστάτη ἐοῦσα μάλιστα ἔψευσται. λέγει γὰρ δὴ οὐδ' αὕτη
οὐδέν, φαμένη τὸν Νεῖλον ῥέειν ἀπὸ τηκομένης χιόνος, ὃς
ῥέει μὲν ἐκ Λιβύης διὰ μέσων Αἰθιόπων, ἐκδιδοῖ δὲ ἐς
τοῦ ῥέοι ἂν ἀπὸ χιόνος, ἀπὸ τῶν
2 Αἴγυπτον. κῶς ὦν δῆτα ῥέοι ἂν ἀπὸ χιόνος, ἀπὸ τῶν
θερμοτάτων [τόπων] ῥέων ἐς τῶν [τὰ] ψυχρότερα τὰ πολλά
ἐστι; ἀνδρί γε λογίζεσθαι τοιούτων πέρι οἵῳ τε ἐόντι, ὡς
οὐδὲ οἰκὸς ἀπὸ χιόνος μιν ῥέειν, πρῶτον μὲν καὶ μέγιστον
μαρτύριον οἱ ἄνεμοι παρέχονται πνέοντες ἀπὸ τῶν χωρέων
τουτέων θερμοί· δεύτερον δὲ ὅτι ἄνομβρος ἡ χώρη καὶ
3 τουτέων θερμοί· δεύτερον δὲ ὅτι ἄνομβρος ἡ χώρη καὶ πᾶσα
ἀκρύσταλλος διατελέει ἐοῦσα, ἐπὶ δὲ χιόνι πεσούσῃ
ἀνάγκη ἐστὶ ὗσαι ἐν πέντε ἡμέρῃσι, ὥστε εἰ ἐχιόνιζε, ὕετο
ἂν ταῦτα τὰ χωρία· τρίτα δὲ οἱ ἄνθρωποι ὑπὸ τοῦ καύματος
μέλανες ἐόντες· ἰκτῖνοι δὲ καὶ χελιδόνες δι' ἔτεος ἐόντες
4 μέλανες ἐόντες· ἰκτῖνοι δὲ καὶ χελιδόνες δι' ἔτεος ἐόντες
οὐκ ἀπολείπουσι, γέρανοι δὲ φεύγουσαι τὸν χειμῶνα τὸν
ἐν τῇ Σκυθικῇ χώρῃ γινόμενον φοιτῶσι ἐς χειμασίην ἐς
τοὺς τόπους τούτους. εἰ τοίνυν ἐχιόνιζε καὶ ὅσον ὦν
ταύτην τὴν χώρην δι' ἧς τε ῥέει καὶ ἐκ τῆς ἄρχεται ῥέων
ὁ Νεῖλος, ἦν ἄν τι τούτων οὐδέν, ὡς ἡ ἀνάγκη ἐλέγχει.
23 ὁ δὲ περὶ τοῦ Ὠκεανοῦ λέξας ἐς ἀφανὲς τὸν μῦθον ἀνε-
νείκας οὐκ ἔχει ἔλεγχον· οὐ γάρ τινα ἔγωγε οἶδα ποταμὸν
Ὠκεανὸν ἐόντα, Ὅμηρον δὲ ἤ τινα τῶν πρότερον γενο-
μένων ποιητέων δοκέω τοὔνομα εὑρόντα ἐς ποίησιν ἐσενεί-
24 κασθαι. εἰ δὲ δεῖ μεμψάμενον γνώμας τὰς προκειμένας
αὐτὸν περὶ τῶν ἀφανέων γνώμην ἀποδέξασθαι, φράσω δι' ὅ τι
μοι δοκέει πληθύεσθαι ὁ Νεῖλος τοῦ θέρεος. τὴν χειμε-
ρινὴν ὥρην ἀπελαυνόμενος ὁ ἥλιος ἐκ τῆς ἀρχαίης διεξόδου
2 ὑπὸ τῶν χειμώνων ἔρχεται τῆς Λιβύης τὰ ἄνω. ὡς μέν
νυν ἐν ἐλαχίστῳ δηλῶσαι, πᾶν εἴρηται· τῆς γὰρ ἂν ἀγχο-

1 αὕτη Stein : αὐτὴ L 4 κῶς ὦν] κόσον DRV 5 τόπων om. dP ῥέων ἐς τῶν [τὰ] ψυχρότερα scripsi : ἐς τὰ ψυχρότερα τῶν ῥέων DSV : ῥέων a : ἐς τὰ ψυχρότερα ῥέων τῶν R : ἐς τὰ ψυχρότατα ῥέων τῶν dP 6 γε om. dP 7 οὐδὲν C εἰκὸς ἐς τὰ ψυχρότατα τῶν P aSV 8 χωρίων d 11 ὕετ' P : ὕεν SV : ὕε. D : ὗε R 13 ἴκτινοι CD[c] 15 γεν. (?) P[1] 18 ἄν τι om. C : τι om. AB 22 ποιητῶν AB τὸ τούτων aDP : τοιούτων R : τοιοῦτον SV 24 αὐτῶν D ἀ + φανέ + ων, οὔνομα DPRV εὑρόντας C γρ. P[m] 28 ἐν om. D ἐλαχίστων (?) D[1] ε ex corr., D 27 ἐς τὰ dP ἂν om. d



τάτω τε ᾖ χώρης οὗτος ὁ θεὸς καὶ κατὰ ἥντινα, ταύτην
οἰκὸς διψῆν τε ὑδάτων μάλιστα καὶ τὰ ἐγχώρια ῥεύματα
μαραίνεσθαι τῶν ποταμῶν. ὡς δὲ ἐν πλέονι λόγῳ δηλῶσαι, 25
ὧδε ἔχει· διεξιὼν τῆς Λιβύης τὰ ἄνω ὁ ἥλιος τάδε ποιέει·
ἅτε διὰ παντὸς τοῦ χρόνου αἰθρίου τε ἐόντος τοῦ ἠέρος τοῦ
κατὰ ταῦτα τὰ χωρία καὶ ἀλεεινῆς τῆς χώρης ἐούσης καὶ
⟨ἄνευ⟩ ἀνέμων ψυχρῶν, διεξιὼν ποιέει οἷόν περ καὶ τὸ
θέρος ἔωθε ποιέειν ἰὼν τὸ μέσον τοῦ οὐρανοῦ. ἕλκει γὰρ 2
ἐπ' ἑωυτὸν τὸ ὕδωρ, ἑλκύσας δὲ ἀπωθέει ἐς τὰ ἄνω χωρία,
ὑπολαμβάνοντες δὲ οἱ ἄνεμοι καὶ διασκιδνάντες τήκουσι·
καὶ εἰσὶ οἰκότως οἱ ἀπὸ ταύτης τῆς χώρης πνέοντες, ὅ τε
νότος καὶ ὁ λίψ, ἀνέμων πολλὸν τῶν πάντων ὑετιώτατοι.
δοκέει δέ μοι οὐδὲ πᾶν τὸ ὕδωρ τὸ ἐπέτειον ἑκάστοτε ἀπο- 3
πέμπεσθαι τοῦ Νείλου ὁ ἥλιος, ἀλλὰ καὶ ὑπολείπεσθαι
περὶ ἑωυτόν. πρηϋνομένου δὲ τοῦ χειμῶνος ἀπέρχεται
ὁ ἥλιος ἐς μέσον τὸν οὐρανὸν ὀπίσω, καὶ τὸ ἐνθεῦτεν ἤδη
ὁμοίως ἀπὸ πάντων ἕλκει τῶν ποταμῶν. τέως δὲ οἱ μὲν 4
ὀμβρίου ὕδατος συμμισγομένου πολλοῦ αὐτοῖσι, ἅτε ὑομένης
τε τῆς χώρης καὶ κεχαραδρωμένης, ῥέουσι μεγάλοι, τοῦ
δὲ θέρεος τῶν τε ὄμβρων ἐπιλειπόντων αὐτοὺς καὶ ὑπὸ τοῦ
ἡλίου ἑλκόμενοι ἀσθενέες εἰσί. ὁ δὲ Νεῖλος, ἐὼν ἄνομβρος, 5
ἑλκόμενος δὲ ὑπὸ τοῦ ἡλίου, μοῦνος ποταμῶν τοῦτον τὸν
χρόνον οἰκότως αὐτὸς ἑωυτοῦ ῥέει πολλῷ ὑποδεέστερος ἢ
τοῦ θέρεος· τότε μὲν γὰρ μετὰ πάντων τῶν ὑδάτων ἴσον
ἕλκεται, τὸν δὲ χειμῶνα μοῦνος πιέζεται. οὕτω τὸν ἥλιον
νενόμικα τούτων αἴτιον εἶναι. αἴτιος δὲ ὁ αὐτὸς οὗτος 26

1 τε ᾖ Stein : γε ᾖ P : γεη d : ἦι a καὶ om. R 2 εἰκὸς aDSV tert. τοῦ] τὸ d δίψην d 3 πλείονι d 5 ἐόντος om. a 7 ἄνευ add. Madvig 8 ἔωθε aV : εἴωθε S : ἐώθεε DPR 6 alt. καὶ] οὐκ ὄντων S 9 αὐτὸν C ἀπωθεῖ d (ἀποθ- V) C 11 εἰκότως SV 12 πολλὸν τῶν om. D θυετιώτατοι D : ὑετώτατοι rell. 14 καὶ om. R 16 τοῦ οὐρανοῦ R, corr. m. 1 καὶ om. D 17 τῶν ποταμῶν] τὸν οὐρανὸν R δὲν οἱ R : δὲ εἰ V[c] : om. S 18 ὄμβροι D τοῦ ὕδατος dP 19 τε om. d 20 θέρεως (?) B[1] 22 δὲ om. a 23 εἰκότως aS 24 τῶν om. d 26 νενόμικα] ι D[2] τοῦτον D : ταύτου RSV ὁ αὐτὸς] ωυτὸς DR : ἑωυτὸς SV

κατὰ γνώμην τὴν ἐμὴν καὶ τὸν ἠέρα ξηρὸν τὸν ταύτῃ εἶναι,
διακαίων τὴν διέξοδον αὐτῷ· οὕτω τῆς Λιβύης τὰ ἄνω
2 θέρος αἰεὶ κατέχει. εἰ δὲ ἡ στάσις ἤλλακτο τῶν ὡρέων
καὶ τοῦ οὐρανοῦ τῇ μὲν νῦν ὁ βορέης τε καὶ ὁ χειμὼν
ἑστᾶσι, ταύτῃ μὲν τοῦ νότου ἦν ἡ στάσις καὶ τῆς μεσαμ-
βρίης, τῇ δὲ ὁ νότος νῦν ἕστηκε, ταύτῃ δὲ ὁ βορέης, εἰ
ταῦτα οὕτως εἶχε, ὁ ἥλιος ἂν ἀπελαυνόμενος ἐκ μέσου τοῦ
οὐρανοῦ ὑπὸ τοῦ χειμῶνος καὶ τοῦ βορέω ἤιε ἂν τὰ ἄνω
τῆς Εὐρώπης κατά περ νῦν τῆς Λιβύης ἔρχεται, διεξιόντα
δ' ἄν μιν διὰ πάσης Εὐρώπης ἔλπομαι ποιέειν ἂν τὸν
27 Ἴστρον τά περ νῦν ἐργάζεται τὸν Νεῖλον. τῆς αὔρης δὲ
πέρι, ὅτι οὐκ ἀποπνέει, τήνδε ἔχω γνώμην, ὡς κάρτα ἀπὸ
θερμέων χωρέων οὐκ οἰκός ἐστι οὐδὲν ἀποπνέειν, αὔρη δὲ
ἀπὸ ψυχροῦ τινος φιλέει πνέειν.

28 Ταῦτα μέν νυν ἔστω ὡς ἔστι τε καὶ ὡς ἀρχὴν ἐγένετο.
τοῦ δὲ Νείλου τὰς πηγὰς οὔτε Αἰγυπτίων οὔτε Λιβύων οὔτε
Ἑλλήνων τῶν ἐμοὶ ἀπικομένων ἐς λόγους οὐδεὶς ὑπέσχετο
εἰδέναι, εἰ μὴ ἐν Αἰγύπτῳ ἐν Σάϊ πόλι ὁ γραμματιστὴς τῶν
2 ἱρῶν χρημάτων τῆς Ἀθηναίης. οὗτος δ' ἔμοιγε παίζειν
ἐδόκεε, φάμενος εἰδέναι ἀτρεκέως. ἔλεγε δὲ ὧδε, εἶναι δύο
ὄρεα ἐς ὀξὺ τὰς κορυφὰς ἀπηγμένα, μεταξὺ Συήνης τε πόλιος
κείμενα τῆς Θηβαΐδος καὶ Ἐλεφαντίνης, οὐνόματα δὲ εἶναι
3 τοῖσι ὄρεσι τῷ μὲν Κρῶφι, τῷ δὲ Μῶφι. τὰς ὦν δὴ πηγὰς
τοῦ Νείλου ἐούσας ἀβύσσους ἐκ τοῦ μέσου τῶν ὀρέων τούτων
ῥέειν, καὶ τὸ μὲν ἥμισυ τοῦ ὕδατος ἐπ' Αἰγύπτου ῥέειν καὶ
πρὸς βορέην ἄνεμον, τὸ δ' ἕτερον ἥμισυ ἐπ' Αἰθιοπίης τε

1 alt. τὸν om. d P[1] αὕτη S V 2 δικαιῶν d καὶ τὴν D αὐτῷ om. R S V : αὐτοῦ Stephanus : ἑωυτοῦ Stein 3 ἀεὶ A B εἰ] ἢ R V ορέων R S V 4 νῦν] οὖν C 5 σύστασις C 6 pr. ὁ om. C νῦν ἕστ.] συνέστ. d C 7 ἀπολαυν. R 9 διεξιὼν d 10 ἡμῖν d τὸ B 12 οὐκ ἀποπνέει (οὐ καταπν. D) ἀπὸ τοῦ Νείλου d 13 θερμέων Stein : θερμῶν L χώρων d εἰκώς V 14 φιλέειν R 15 καὶ τὴν ἀρχὴν d 16 Νείλου δὲ d Ἑλλ. οὔτε Λιβ. d 18 πόλει C D P R [V] 19 ἱερ. R S δ'] γ(ε) d 20 δὲ om. B[1] V 21 ἀπηγμένα Bekker : ἀπιγμ. a P : ἀπηγημ. d Συήνης κείμ. πόλ. d 22 ὀνόματα A B R S V 23 Χρωφί et Μωφί d 24 τουτέων D P : τουτέειν R S V 25 pr. ῥέειν om. R S V



καὶ νότου. ὡς δὲ ἄβυσσοί εἰσι αἱ πηγαί, ἐς διάπειραν ἔφη 4
τούτου Ψαμμήτιχον Αἰγύπτου βασιλέα ἀπικέσθαι. πολλέων
γὰρ αὐτὸν χιλιάδων ὀργυιέων πλεξάμενον κάλον κατεῖναι
ταύτῃ καὶ οὐκ ἐξικέσθαι ἐς βυσσόν. οὗτος μὲν δὴ ὁ γραμ- 5
ματιστής, εἰ ἄρα ταῦτα γινόμενα ἔλεγε, ἀπέφαινε, ὡς ἐμὲ
κατανοέειν, δίνας τινὰς ταύτῃ ἐούσας ἰσχυρὰς καὶ παλιρροίην,
οἷα δὲ ἐμβάλλοντος τοῦ ὕδατος τοῖσι ὄρεσι μὴ δύνασθαι
κατιεμένην καταπειρητηρίην ἐς βυσσὸν ἰέναι. ἄλλου δὲ 29
οὐδενὸς οὐδὲν ἐδυνάμην πυθέσθαι, ἀλλὰ τοσόνδε μὲν ἄλλο
ἐπὶ μακρότατον ἐπυθόμην, μέχρι μὲν Ἐλεφαντίνης πόλιος
αὐτόπτης ἐλθών, τὸ δ' ἀπὸ τούτου ἀκοῇ ἤδη ἱστορέων. ἀπὸ 2
Ἐλεφαντίνης πόλιος ἄνω ἰόντι ἄναντές ἐστι χωρίον· ταύτῃ
ὦν δεῖ τὸ πλοῖον διαδήσαντας ἀμφοτέρωθεν κατά περ βοῦν
πορεύεσθαι· ἢν δὲ ἀπορραγῇ, τὸ πλοῖον οἴχεται φερόμενον
ὑπὸ ἰσχύος τοῦ ῥόου. τὸ δὲ χωρίον τοῦτό ἐστι ἐπ' ἡμέρας 3
τέσσερας πλόος, σκολιὸς δὲ ταύτῃ κατά περ ὁ Μαίανδρός
ἐστι ὁ Νεῖλος· σχοῖνοι δὲ δυώδεκά εἰσι οὗτοι τοὺς δεῖ τούτῳ
τῷ τρόπῳ διεκπλῶσαι· καὶ ἔπειτα ἀπίξεαι ἐς πεδίον λεῖον,
ἐν τῷ νῆσον περιρρέει ὁ Νεῖλος· Ταχομψὼ οὔνομα αὐτῇ
ἐστι. οἰκέουσι δὲ τὰ ἀπὸ Ἐλεφαντίνης ἄνω Αἰθίοπες ἤδη 4
καὶ τῆς νήσου τὸ ἥμισυ, τὸ δὲ ἥμισυ Αἰγύπτιοι. ἔχεται
δὲ τῆς νήσου λίμνη μεγάλη, τὴν πέριξ νομάδες Αἰθίοπες
νέμονται· τὴν διεκπλώσας ἐς τοῦ Νείλου τὸ ῥέεθρον ἥξεις,
τὸ ἐς τὴν λίμνην ταύτην ἐκδιδοῖ· καὶ ἔπειτα ἀποβὰς παρὰ 5
τὸν ποταμὸν ὁδοιπορίην ποιήσεαι ἡμερέων τεσσεράκοντα·
σκόπελοί τε γὰρ ἐν τῷ Νείλῳ ὀξέες ἀνέχουσι καὶ χοιράδες
πολλαί εἰσι, δι' ὧν οὐκ οἷά τέ ἐστι πλέειν. διεξελθὼν δὲ 6
ἐν τῇσι τεσσεράκοντα ἡμέρῃσι τοῦτο τὸ χωρίον, αὖτις ἐς

3 κάλων a D[1] suprascr. 4 οὕτω a P 5 γενόμενα d P ἀπέφανε D 6 κατανοεῖν D R V 7 δὲ om. a ἐμβαλόντος d C[1] P 8 βυθὸν A B d 9 τοσ + + + όνδε D 11 αὐτόπτης ... πόλιος (ι D[c]) om. B[1] ἀκουῇ(ι) A C R 13 δεῖ D P V[c] : δὴ rell. πλεῖον R διαδήσαντα D P R V : -τες C S 14 οἴξεται d P 16 τέσσαρας d C P 18 τῷ om. a ἀπῖξαι B 19 ὧ d Ταχομψὼ] T D[c] 20 τὰ om. d 22 τῆς om. R 23 δὲ ἐκπλώσας V : δ' ἐκπλ. D : δὴ ἐκπλ. S ἐκ d 25 τεσσαρ. d C 28 ἐν om. D P R V τεσσαρ. D R V

ἕκαστοι ἐν τοῖσι προαστίοισι, τὸ κέρας τὸ ἕτερον ἢ καὶ ἀμφότερα ὑπερέχοντα σημηίου εἵνεκεν· ἐπεὰν δὲ σαπῇ καὶ προσίῃ ὁ τεταγμένος χρόνος, ἀπικνέεται ἐς ἑκάστην πόλιν
5 βᾶρις ἐκ τῆς Προσωπίτιδος καλεομένης νήσου. ἡ δ' ἔστι μὲν ἐν τῷ Δέλτα, περίμετρον δὲ αὐτῆς εἰσὶ σχοῖνοι ἐννέα. ἐν ταύτῃ ὦν τῇ Προσωπίτιδι νήσῳ ἔνεισι μὲν καὶ ἄλλαι πόλιες συχναί, ἐκ τῆς δὲ αἱ βάριες παραγίνονται ἀναιρησόμεναι τὰ ὀστέα τῶν βοῶν, οὔνομα τῇ πόλι Ἀτάρβηχις,
6 ἐν δ' αὐτῇ Ἀφροδίτης ἱρὸν ἅγιον ἵδρυται. ἐκ ταύτης τῆς πόλιος πλανῶνται πολλοὶ ἄλλοι ἐς ἄλλας πόλις, ἀνορύξαντες δὲ τὰ ὀστέα ἀπάγουσι καὶ θάπτουσι ἐς ἕνα χῶρον πάντες. κατὰ ταὐτὰ δὲ τοῖσι βουσὶ καὶ τἆλλα κτήνεα θάπτουσι ἀποθνῄσκοντα. καὶ γὰρ περὶ ταῦτα οὕτω σφι
**42** νενομοθέτηται· κτείνουσι γὰρ δὴ οὐδὲ ταῦτα. ὅσοι μὲν δὴ Διὸς Θηβαιέος ἵδρυνται ἱρὸν ἢ νομοῦ τοῦ Θηβαίου εἰσί, οὗτοι μὲν [νυν] πάντες ὀίων ἀπεχόμενοι αἶγας θύουσι.
2 θεοὺς γὰρ δὴ οὐ τοὺς αὐτοὺς ἅπαντες ὁμοίως Αἰγύπτιοι σέβονται, πλὴν Ἴσιός τε καὶ Ὀσίριος, τὸν δὴ Διόνυσον εἶναι λέγουσι· τούτους δὲ ὁμοίως ἅπαντες σέβονται. ὅσοι δὲ τοῦ Μένδητος ἔκτηνται ἱρὸν ἢ νομοῦ τοῦ Μενδησίου
3 εἰσί, οὗτοι δὲ αἰγῶν ἀπεχόμενοι ὄϊς θύουσι. Θηβαῖοι μέν νυν καὶ ὅσοι διὰ τούτους ὀίων ἀπέχονται, διὰ τάδε λέγουσι τὸν νόμον τόνδε σφίσι τεθῆναι· Ἡρακλέα θελῆσαι πάντως ἰδέσθαι τὸν Δία καὶ τὸν οὐκ ἐθέλειν ὀφθῆναι ὑπ' αὐτοῦ, τέλος δέ, ἐπείτε λιπαρέειν τὸν Ἡρακλέα, τὸν Δία
4 μηχανήσασθαι ⟨τάδε⟩· κριὸν ἐκδείραντα προσχέσθαι τε τὴν κεφαλὴν ἀποταμόντα τοῦ κριοῦ καὶ ἐνδύντα τὸ νάκος οὕτω

1 προαστείοισι L 2 εἵνεκα d P 4 καλευμ. A B 5 περίμετρος d P 7 πόλις P R : πόλεις D S V βάρεις D : βάρις rell. 8 πόλει C D S V 10 πόλιας d : πόλεις C 11 ἓν χωρίον d 12 ταῦτα D δὲ om. R 15 Θηβαιέος d P : Θηβαιου a 16 νυν om. d P 17–18 σέβονται ante ἅπαντες d Ὀσίριδος a τὸν δὲ δὴ D 22 τούτους a D P : τούτου R : τούτω V : τούτων S 23 σφισι S : σφι rell. 26 τάδε add. Herold προσχέσθαι P¹ : προέχεσθαί a P^c : προεκθέσθαι d



οἱ ἑωυτὸν ἐπιδέξαι. ἀπὸ τούτου κριοπρόσωπον τοῦ Διὸς τὤγαλμα ποιεῦσι Αἰγύπτιοι, ἀπὸ δὲ Αἰγυπτίων Ἀμμώνιοι, ἐόντες Αἰγυπτίων τε καὶ Αἰθιόπων ἄποικοι καὶ φωνὴν μεταξὺ ἀμφοτέρων νομίζοντες. δοκέειν δέ μοι, καὶ τὸ 5
οὔνομα Ἀμμώνιοι ἀπὸ τοῦδε σφίσι τὴν ἐπωνυμίην ἐποιήσαντο· Ἀμοῦν γὰρ Αἰγύπτιοι καλέουσι τὸν Δία. τοὺς δὲ κριοὺς οὐ θύουσι Θηβαῖοι, ἀλλ' εἰσί σφι ἱροὶ διὰ τοῦτο. μιῇ δὲ ἡμέρῃ τοῦ ἐνιαυτοῦ, ἐν ὁρτῇ τοῦ Διός, κριὸν ἕνα 6
κατακόψαντες καὶ ἀποδείραντες κατὰ τὠυτὸ ἐνδύουσι τὤγαλμα τοῦ Διὸς καὶ ἔπειτα ἄλλο ἄγαλμα Ἡρακλέος προσάγουσι πρὸς αὐτό. ταῦτα δὲ ποιήσαντες τύπτονται οἱ περὶ τὸ ἱρὸν ἅπαντες τὸν κριὸν καὶ ἔπειτα ἐν ἱρῇ θήκῃ θάπτουσι αὐτόν.

Ἡρακλέος δὲ πέρι τόνδε [τὸν] λόγον ἤκουσα, ὅτι εἴη τῶν **43**
δυώδεκα θεῶν. τοῦ ἑτέρου δὲ πέρι Ἡρακλέος, τὸν Ἕλληνες οἴδασι, οὐδαμῇ Αἰγύπτου ἐδυνάσθην ἀκοῦσαι. καὶ μὲν ὅτι 2
γε οὐ παρ' Ἑλλήνων ἔλαβον τὸ οὔνομα Αἰγύπτιοι [τοῦ Ἡρακλέος], ἀλλ' Ἕλληνες μᾶλλον παρ' Αἰγυπτίων καὶ Ἑλλήνων οὗτοι οἱ θέμενοι τῷ Ἀμφιτρύωνος γόνῳ τοὔνομα Ἡρακλέα, πολλά μοι καὶ ἄλλα τεκμήριά ἐστι τοῦτο οὕτω ἔχειν, ἐν δὲ καὶ τόδε, ὅτι τε τοῦ Ἡρακλέος τούτου οἱ γονέες ἀμφότεροι ἦσαν Ἀμφιτρύων καὶ Ἀλκμήνη γεγονότες τὸ ἀνέκαθεν ἀπ' Αἰγύπτου καὶ διότι Αἰγύπτιοι οὔτε Ποσειδέωνος οὔτε Διοσκόρων τὰ οὐνόματά φασι εἰδέναι, οὐδέ σφι θεοὶ οὗτοι ἐν τοῖσι ἄλλοισι θεοῖσι ἀποδεδέχαται. καὶ μὲν εἴ γε 3
παρ' Ἑλλήνων ἔλαβον οὔνομά τευ δαίμονος, τούτων οὐκ ἥκιστα ἀλλὰ μάλιστα ἔμελλον μνήμην ἕξειν, εἴ περ καὶ τότε

1 ἑαυτὸν A B ἐπιδεῖξαι d P : ἀποδέξεται C τὤγ. τοῦ Διὸς d P 4 τὸ οὔν. P quoque 5 σφίσι olim Stein : σφι L ἐπωνυμίην] η D² 6 Ἀμμοῦν d P 9 ταῦτα d ἐνδύνουσι D 10 ἄγαλμα ἄλλο d Ἡρακλέους a 11 οἱ om. C 12 πάντες d 14 τὸν om. d ὅτι a : ὡς P R S V : + + ὡς D 15 δυόδεκα B 16 μὴν L (it. 25) 17 τοῦ Ἡρ. (del. Cobet) Αἰγ. d P 19 οὗτοι del. Krueger οὔνομα d P 21 ἓν L 24 Διοσκόρων D¹ S V^c : -κόρου R V¹ : -κούρων a D^c (1) P ὀνόματά B 26 οὐκ om. a 27 ⟨αὐτοὶ⟩ τότε Stein

ναυτιλίῃσι ἐχρέωντο καὶ ἦσαν Ἑλλήνων τινὲς ναυτίλοι, ὡς
ἔλπομαί τε καὶ ἐμὴ γνώμη αἱρέει. ὥστε τούτων ἂν καὶ
μᾶλλον τῶν θεῶν τὰ οὐνόματα ἐξεπιστέατο Αἰγύπτιοι ἢ τοῦ
4 Ἡρακλέος. ἀλλά τις ἀρχαῖός ἐστι θεὸς Αἰγυπτίοισι Ἡρα-
κλέης· ὡς δὲ αὐτοὶ λέγουσι, ἔτεά ἐστι ἑπτακισχίλια καὶ
μύρια ἐς Ἄμασιν βασιλεύσαντα, ἐπείτε ἐκ τῶν ὀκτὼ θεῶν οἱ
44 δυώδεκα θεοὶ ἐγένοντο τῶν Ἡρακλέα ἕνα νομίζουσι. καὶ
θέλων δὲ τούτων πέρι σαφές τι εἰδέναι ἐξ ὧν οἷόν
τε ἦν, ἔπλευσα καὶ ἐς Τύρον τῆς Φοινίκης, πυνθανόμενος
2 αὐτόθι εἶναι ἱρὸν Ἡρακλέος ἅγιον. καὶ εἶδον πλουσίως κατε-
σκευασμένον ἄλλοισί τε πολλοῖσι ἀναθήμασι, καὶ ἐν αὐτῷ
ἦσαν στῆλαι δύο, ἣ μὲν χρυσοῦ ἀπέφθου, ἣ δὲ σμαράγδου
λίθου λάμποντος τὰς νύκτας μέγαθος· ἐς λόγους δὲ ἐλθὼν
τοῖσι ἱρεῦσι τοῦ θεοῦ εἰρόμην ὁκόσος χρόνος εἴη ἐξ οὗ σφι
3 τὸ ἱρὸν ἵδρυται. εὗρον δὲ οὐδὲ τούτους τοῖσι Ἕλλησι
συμφερομένους· ἔφασαν γὰρ ἅμα Τύρῳ οἰκιζομένῃ καὶ τὸ
ἱρὸν τοῦ θεοῦ ἱδρυθῆναι, εἶναι δὲ ἔτεα ἀπ᾽ οὗ Τύρον οἰκέουσι
τριηκόσια καὶ δισχίλια. εἶδον δὲ ἐν τῇ Τύρῳ καὶ ἄλλο ἱρὸν
4 Ἡρακλέος ἐπωνυμίην ἔχοντος Θασίου εἶναι. ἀπικόμην δὲ
καὶ ἐς Θάσον, ἐν τῇ εὗρον ἱρὸν Ἡρακλέος ὑπὸ Φοινίκων
ἱδρυμένον, οἳ κατ᾽ Εὐρώπης ζήτησιν ἐκπλώσαντες Θάσον
ἔκτισαν· καὶ ταῦτα καὶ πέντε γενεῇσι ἀνδρῶν πρότερά ἐστι
5 ἢ τὸν Ἀμφιτρύωνος Ἡρακλέα ἐν τῇ Ἑλλάδι γενέσθαι. τὰ
μέν νυν ἱστορημένα δηλοῖ σαφέως παλαιὸν θεὸν Ἡρακλέα
ἐόντα. καὶ δοκέουσι δέ μοι οὗτοι ὀρθότατα Ἑλλήνων
ποιέειν, οἳ διξὰ Ἡράκλεια ἱδρυσάμενοι ἔκτηνται, καὶ τῷ
μὲν ὡς ἀθανάτῳ, Ὀλυμπίῳ δὲ ἐπωνυμίην θύουσι, τῷ δὲ
45 ἑτέρῳ ὡς ἥρωι ἐναγίζουσι. λέγουσι δὲ πολλὰ καὶ ἄλλα
ἀνεπισκέπτως οἱ Ἕλληνες· εὐήθης δὲ αὐτῶν καὶ ὅδε ὁ μῦθός

3 ἐξεπιστέαντο R V τὸ Krueger 4 ἐστί(ν) ἀρχ. θεὸς Αἰγ. D R V: ἐστὶν Αἰγ. ἀρχ. θεὸς S 6 Ἄμασι D¹ R V 7 δώδεκα d: δυόδεκα B τὸν D P S V: om. R καὶ] εἶναι Bekker 8 δὴ Krueger 10 εἶδον C: ἴδον rell. (it. 18) 12 μὲν] μὲν γὰρ D μαράγδου B D¹ R V¹ Pᶜ 13 μέγα φῶς Reiske 14 ἱερ. R χρόνος in marg. D¹ 15 ἱερ. D¹ R 17 δὲ τὰ ἔτεα B ἀφ᾽ L 20 καὶ om. S V Θάσσον B 22 alt. καὶ om. d P 26 Ἡρακλέα a: Ἡρακλεῆια D 28 λέγουσι + δὲ D 29 μισθός R



ἐστι τὸν περὶ τοῦ Ἡρακλέος λέγουσι, ὡς αὐτὸν ἀπικόμενον
ἐς Αἴγυπτον στέψαντες οἱ Αἰγύπτιοι ὑπὸ πομπῆς ἐξῆγον ὡς
θύσοντες τῷ Διί· τὸν δὲ τέως μὲν ἡσυχίην ἔχειν, ἐπεὶ δὲ
αὐτοῦ πρὸς τῷ βωμῷ κατάρχοντο, ἐς ἀλκὴν τραπόμενον
πάντας σφέας καταφονεῦσαι. ἐμοὶ μέν νυν δοκέουσι ταῦτα 2
λέγοντες τῆς Αἰγυπτίων φύσιος καὶ τῶν νόμων πάμπαν
ἀπείρως ἔχειν οἱ Ἕλληνες· τοῖσι γὰρ οὐδὲ κτήνεα ὁσίη
θύειν ἐστὶ χωρὶς ὀΐων καὶ ἐρσένων βοῶν καὶ μόσχων, ὅσοι
ἂν καθαροὶ ἔωσι, καὶ χηνῶν, κῶς ἂν οὗτοι ἀνθρώπους θύοιεν;
ἔτι δὲ ἕνα ἐόντα τὸν Ἡρακλέα καὶ ἔτι ἄνθρωπον, ὡς δή φασι, 3
κῶς φύσιν ἔχει πολλὰς μυριάδας φονεῦσαι; καὶ περὶ μὲν
τούτων τοσαῦτα ἡμῖν εἰποῦσι καὶ παρὰ τῶν θεῶν καὶ παρὰ
τῶν ἡρώων εὐμένεια εἴη.

Τὰς δὲ δὴ αἶγας καὶ τοὺς τράγους τῶνδε εἵνεκα οὐ 46
θύουσι Αἰγυπτίων οἱ εἰρημένοι. τὸν Πᾶνα τῶν ὀκτὼ
θεῶν λογίζονται εἶναι οἱ Μενδήσιοι, τοὺς δὲ ὀκτὼ θεοὺς
τούτους προτέρους τῶν δυώδεκα θεῶν φασι γενέσθαι.
γράφουσί τε δὴ καὶ γλύφουσι οἱ ζωγράφοι καὶ οἱ 2
ἀγαλματοποιοὶ τοῦ Πανὸς τὤγαλμα κατά περ Ἕλληνες
αἰγοπρόσωπον καὶ τραγοσκελέα, οὔτι τοιοῦτον νομίζοντες
εἶναί μιν ἀλλ᾽ ὅμοιον τοῖσι ἄλλοισι θεοῖσι. ὅτευ δὲ εἵνεκα
τοιοῦτον γράφουσι αὐτόν, οὔ μοι ἥδιόν ἐστι λέγειν.
σέβονται δὲ πάντας τοὺς αἶγας οἱ Μενδήσιοι, καὶ μᾶλλον 3
τοὺς ἔρσενας τῶν θηλέων, καὶ τούτων οἱ αἰπόλοι τιμὰς
μέζονας ἔχουσι· ἐκ δὲ τούτων εἷς μάλιστα, ὅστις ἐπεὰν
ἀποθάνῃ, πένθος μέγα παντὶ τῷ Μενδησίῳ νομῷ τίθεται.
καλέεται δὲ ὅ τε τράγος καὶ ὁ Πὰν Αἰγυπτιστὶ Μένδης. 4
ἐγένετο δὲ ἐν τῷ νομῷ τούτῳ ἐπ᾽ ἐμεῦ τοῦτο τὸ τέρας·
γυναικὶ τράγος ἐμίσγετο ἀναφανδόν. τοῦτο ἐς ἐπί-

1 τὸν om. S V 4 αὐτοὶ d 7 ἀπείκως S V 8 ὀιῶν C: ὑῶν rell. σέων S V καὶ ὅσοι C 9 pr. ἂν] ἐὰν a 10 εν + α D όντα a 11 ἔχειν a 13 εὐμενεα P (?) d 15 τὸν] ν D² 17 δυόδεκα B γεγενῆσθαι Dᶜ 18 τε a: δὲ d P καὶ γλύφουσι om. C καὶ οἱ ἀγαλμ. om. a 21 ἕνεκα A B d 22 ἴδιον D 24 αἰπόλοι in lit. D τινὰς R 25 εἷς] ἕνα Stein 28 τὸ om. D 29 ἐπίδειξιν A¹ C S V¹

καὶ Ἥρης καὶ Ἱστίης καὶ Θέμιος καὶ Χαρίτων καὶ Νηρηΐδων,
τῶν ἄλλων θεῶν Αἰγυπτίοισι αἰεί κοτε τὰ οὐνόματά ἐστι ἐν
τῇ χώρῃ. λέγω δὲ τὰ λέγουσι αὐτοὶ Αἰγύπτιοι. τῶν δὲ οὔ
φασι θεῶν γινώσκειν τὰ οὐνόματα, οὗτοι δέ μοι δοκέουσι
ὑπὸ Πελασγῶν ὀνομασθῆναι, πλὴν Ποσειδέωνος· τοῦτον δὲ
3 τὸν θεὸν παρὰ Λιβύων ἐπύθοντο. οὐδαμοὶ γὰρ ἀπ' ἀρχῆς
Ποσειδέωνος οὔνομα ἔκτηνται εἰ μὴ Λίβυες καὶ τιμῶσι τὸν
θεὸν τοῦτον αἰεί. νομίζουσι δ' ὦν Αἰγύπτιοι οὐδ' ἥρωσι
οὐδέν.

51 Ταῦτα μέν νυν καὶ ἄλλα πρὸς τούτοισι, τὰ ἐγὼ φράσω,
Ἕλληνες ἀπ' Αἰγυπτίων νενομίκασι· τοῦ δὲ Ἑρμέω τὰ
ἀγάλματα ὀρθὰ ἔχειν τὰ αἰδοῖα ποιεῦντες οὐκ ἀπ' Αἰγυπτίων
μεμαθήκασι, ἀλλ' ἀπὸ Πελασγῶν πρῶτοι μὲν Ἑλλήνων
ἁπάντων Ἀθηναῖοι παραλαβόντες, παρὰ δὲ τούτων ὧλλοι.
2 Ἀθηναίοισι γὰρ ἤδη τηνικαῦτα ἐς Ἕλληνας τελέουσι Πελα-
σγοὶ σύνοικοι ἐγένοντο ἐν τῇ χώρῃ, ὅθεν περ καὶ Ἕλληνες
ἤρξαντο νομισθῆναι. ὅστις δὲ τὰ Καβείρων ὄργια μεμύηται,
τὰ Σαμοθρήικες ἐπιτελέουσι παραλαβόντες παρὰ Πελασγῶν,
3 οὗτος ὡνὴρ οἶδε τὸ λέγω. τὴν γὰρ Σαμοθρηίκην οἴκεον
πρότερον Πελασγοὶ οὗτοι οἵ περ Ἀθηναίοισι σύνοικοι ἐγέ-
νοντο, καὶ παρὰ τούτων Σαμοθρήικες τὰ ὄργια παραλαμβά-
4 νουσι. ὀρθὰ ὦν ἔχειν τὰ αἰδοῖα τἀγάλματα τοῦ Ἑρμέω
Ἀθηναῖοι πρῶτοι Ἑλλήνων μαθόντες παρὰ Πελασγῶν
ἐποιήσαντο. οἱ δὲ Πελασγοὶ ἱρόν τινα λόγον περὶ αὐτοῦ
ἔλεξαν, τὰ ἐν τοῖσι ἐν Σαμοθρηίκῃ μυστηρίοισι δεδήλωται.
52 ἔθυον δὲ πάντα πρότερον οἱ Πελασγοὶ θεοῖσι ἐπευχόμενοι,
ὡς ἐγὼ ἐν Δωδώνῃ οἶδα ἀκούσας, ἐπωνυμίην δὲ οὐδ' οὔνομα
ἐποιεῦντο οὐδενὶ αὐτῶν· οὐ γὰρ ἀκηκόεσάν κω. θεοὺς δὲ
προσωνόμασάν σφεας ἀπὸ τοῦ τοιούτου ὅτι κόσμῳ θέντες

1 Θέμιδος a  2 τῶν a: καὶ τῶν d P  εἰσιν S V  4 ὀν. V  6 οὐδαμῇ S V  7 ὄν. C  ἔκτηνται P C[c]: κέκτηνται rell.  8 οὐ δὴ δρῶσι(ν) d  12 ποιεῦνται S V  15 ἤδη a: δὴ P R: om. D S V  19 ὡνὴρ R: ὁ ἀνὴρ V  21 τὰ ὄργια Σαμ. A B: Σαμ. om. C  22 τὰ ἀγ. A B  25 alt. ἐν om. d  Σαμοθράκῃ R  28 ἀκήκοες (ἀκηκόασιν S) ἄν κοθεν οὓς δὲ R S V  29 προσον. B R V  τοῦ om. A[1]



τὰ πάντα πρήγματα καὶ πάσας νομὰς εἶχον. ἔπειτε δὲ χρόνου 2
πολλοῦ διεξελθόντος ἐπύθοντο ἐκ τῆς Αἰγύπτου ἀπιγμένα τὰ
οὐνόματα τῶν θεῶν τῶν ἄλλων, Διονύσου δὲ ὕστερον πολλῷ
ἐπύθοντο· καὶ μετὰ χρόνον ἐχρηστηριάζοντο περὶ [τῶν] οὐνο-
μάτων ἐν Δωδώνῃ· τὸ γὰρ δὴ μαντήιον τοῦτο νενόμισται
ἀρχαιότατον τῶν ἐν Ἕλλησι χρηστηρίων εἶναι, καὶ ἦν τὸν
χρόνον τοῦτον μοῦνον. ἐπεὶ ὦν ἐχρηστηριάζοντο ἐν τῇ 3
Δωδώνῃ οἱ Πελασγοὶ εἰ ἀνέλωνται τὰ οὐνόματα τὰ ἀπὸ τῶν
βαρβάρων ἥκοντα, ἀνεῖλε τὸ μαντήιον χρᾶσθαι. ἀπὸ μὲν δὴ
τούτου τοῦ χρόνου ἔθυον τοῖσι οὐνόμασι τῶν θεῶν χρεώμενοι.
παρὰ δὲ Πελασγῶν Ἕλληνες ἐδέξαντο ὕστερον. ὅθεν δὲ 53
ἐγένοντο ἕκαστος τῶν θεῶν, εἴτε αἰεὶ ἦσαν πάντες, ὁκοῖοί
τέ τινες τὰ εἴδεα, οὐκ ἠπιστέατο μέχρι οὗ πρώην τε καὶ χθὲς
ὡς εἰπεῖν λόγῳ. Ἡσίοδον γὰρ καὶ Ὅμηρον ἡλικίην τετρα- 2
κοσίοισι ἔτεσι δοκέω μευ πρεσβυτέρους γενέσθαι καὶ οὐ
πλέοσι. οὗτοι δέ εἰσι οἱ ποιήσαντες θεογονίην Ἕλλησι καὶ
τοῖσι θεοῖσι τὰς ἐπωνυμίας δόντες καὶ τιμάς τε καὶ τέχνας
διελόντες καὶ εἴδεα αὐτῶν σημήναντες. οἱ δὲ πρότερον 3
ποιηταὶ λεγόμενοι τούτων τῶν ἀνδρῶν γενέσθαι ὕστερον,
ἔμοιγε δοκέειν, ἐγένοντο. τούτων τὰ μὲν πρῶτα αἱ Δωδω-
νίδες ἱέρειαι λέγουσι, τὰ δὲ ὕστερα τὰ ἐς Ἡσίοδόν τε καὶ
Ὅμηρον ἔχοντα ἐγὼ λέγω. χρηστηρίων δὲ πέρι τοῦ τε ἐν 54
Ἕλλησι καὶ τοῦ ἐν Λιβύῃ τόνδε Αἰγύπτιοι λόγον λέγουσι.
ἔφασαν οἱ ἱρέες τοῦ Θηβαιέος Διὸς δύο γυναῖκας ἱερείας ἐκ
Θηβέων ἐξαχθῆναι ὑπὸ Φοινίκων, καὶ τὴν μὲν αὐτέων
πυθέσθαι ἐς Λιβύην πρηθεῖσαν, τὴν δὲ ἐς τοὺς Ἕλληνας·
ταύτας δὲ τὰς γυναῖκας εἶναι τὰς ἱδρυσαμένας τὰ μαντήια
πρώτας ἐν τοῖσι εἰρημένοισι ἔθνεσι. εἰρομένου δέ μευ 2

1 ἐπείτε a: ἔπειτα d P  2 διελθόντος d P  ἀπηγμένα S V: ἀπικόμενα a  4 τῶν om. D  7 οὖν R S V  8 ἀνέλονται D  alt. τὰ om. R S V  10 χρώμενοι D R V  11 ἐξεδέξαντο a P  ἔνθεν a  12 ἐγένετο a  εἴτε δ' a  αἰεὶ C: ἀεὶ rell.  13 ἴδεα D[1] (it. 18)  πρὶν a  18 πρότεροι D P[1] R V  20 ἐμοὶ d P  21 ἱρῆιαι d P (it. 24; c. 55 v. 14)  τὸ S V  ὕστερον d P  22 τοῦ] τῶν D P R V  23 ἔχουσι B  24 ἱ + ρ. D  Θηβαέος D[1] P[1] R S V  25 Θηβαίων C D[c] R S V  26 εἰς R  προσθεῖσασαν C[1]  27 ἱδρυμένας D P[1] R V  28 εἰρομένου] εἰρημ. S V

ὀκόθεν οὕτω ἀτρεκέως ἐπιστάμενοι λέγουσι, ἔφασαν πρὸς
ταῦτα ζήτησιν μεγάλην ἀπὸ σφέων γενέσθαι τῶν γυναικῶν
τουτέων, καὶ ἀνευρεῖν μέν σφεας οὐ δυνατοὶ γενέσθαι, πυθέ-
σθαι δὲ ὕστερον ταῦτα περὶ αὐτέων τά περ δὴ ἔλεγον.
ταῦτα μέν νυν τῶν ἐν Θήβῃσι ἱρέων ἤκουον, τάδε δὲ
55 Δωδωναίων φασὶ αἱ προμάντιες· δύο πελειάδας μελαίνας
ἐκ Θηβέων τῶν Αἰγυπτιέων ἀναπταμένας τὴν μὲν αὐτέων
ἐς Λιβύην, τὴν δὲ παρὰ σφέας ἀπικέσθαι. ἱζομένην δέ μιν
2 ἐπὶ φηγὸν αὐδάξασθαι φωνῇ ἀνθρωπηίῃ ὡς χρεὸν εἴη
μαντήιον αὐτόθι Διὸς γενέσθαι, καὶ αὐτοὺς ὑπολαβεῖν θεῖον
εἶναι τὸ ἐπαγγελλόμενον αὐτοῖσι καί σφεα ἐκ τούτου ποιῆσαι.
τὴν δὲ ἐς τοὺς Λίβυας οἰχομένην πελειάδα λέγουσι Ἄμμωνος
3 χρηστήριον κελεῦσαι τοὺς Λίβυας ποιέειν· ἔστι δὲ καὶ τοῦτο
Διός. Δωδωναίων δὲ αἱ ἱέρειαι, τῶν τῇ πρεσβυτάτῃ οὔνομα
ἦν Προμένεια, τῇ δὲ μετὰ ταύτην Τιμαρέτη, τῇ δὲ νεωτάτῃ
Νικάνδρη, ἔλεγον ταῦτα· συνωμολόγεον δέ σφι καὶ οἱ ἄλλοι
56 Δωδωναῖοι οἱ περὶ τὸ ἱρόν. ἐγὼ δ' ἔχω περὶ αὐτῶν γνώμην
τήνδε. εἰ ἀληθέως οἱ Φοίνικες ἐξήγαγον τὰς ἱρὰς γυναῖκας
καὶ τὴν μὲν αὐτέων ἐς Λιβύην, τὴν δὲ ἐς τὴν Ἑλλάδα
ἀπέδοντο, δοκέει ἐμοὶ ἡ γυνὴ αὕτη τῆς νῦν Ἑλλάδος, πρό-
τερον δὲ Πελασγίης καλευμένης τῆς αὐτῆς ταύτης, πρηθῆναι
2 ἐς Θεσπρωτούς· ἔπειτα δουλεύουσα αὐτόθι ἱδρύσασθαι ὑπὸ
φηγῷ πεφυκυίῃ Διὸς ἱρόν, ὥσπερ ἦν οἰκὸς ἀμφιπολεύουσαν
ἐν Θήβῃσι ἱρὸν Διός, ἔνθα ἀπίκετο, ἐνθαῦτα μνήμην αὐτοῦ
3 ἔχειν. ἐκ δὲ τούτου χρηστήριον κατηγήσατο, ἐπείτε συνέλαβε
τὴν Ἑλλάδα γλῶσσαν. φάναι δέ οἱ ἀδελφεὴν ἐν Λιβύῃ
πεπρῆσθαι ὑπὸ τῶν αὐτῶν Φοινίκων ὑπ' ὧν καὶ αὐτὴ ἐπρήθη.

6 Δωδωνέων R S V    7 Θη-
5 ἱερ. R V    τάδε A B : τὰ rell.    ἀναπτομένας a
βαίων B C D $R^1$ : Θηβεαίων $R^c$ V : Θηβαέων S
9 ἀνθρωπείῃ P (it. c. 57 v. 4) $D^c$ : ἀνθρωπίῃ $D^1$ R S V (it. 57, 4 et 6)
χρεὼν $B^c$ $D^c$    11 σφεα Krueger : σφεας L    14 Δωδωνέων $D^1$ $V^1$
αἱ om. d    τῶ R V    15 μετ' αὐτὴν d P Eustath. Od. 1760
Τιμαρέτην R    νεοτάτη $D^1$    16 οἱ om. d P    17 οἱ om. D
ἱερ. V    αὐτέων L    18 ἱερ. R V    20 δοκέει S : δοκέειν rell.
21 Πελαγίης $D^1$ R V    22 Θεσπρ. R V    δουλεύουσαν d    23 ἱρὸν
Διὸς a    εἰκὸς S V    24 ἔνθα] ἔνθαδ' A B    25 συνέβαλε D



πελειάδες δέ μοι δοκέουσι κληθῆναι πρὸς Δωδωναίων ἐπὶ 57
τοῦδε αἱ γυναῖκες, διότι βάρβαροι ἦσαν, ἐδόκεον δέ σφι
ὁμοίως ὄρνισι φθέγγεσθαι. μετὰ δὲ χρόνον τὴν πελειάδα 2
ἀνθρωπηίῃ φωνῇ αὐδάξασθαι λέγουσι, ἐπείτε συνετά σφι
ηὔδα ἡ γυνή· ἕως δὲ ἐβαρβάριζε, ὄρνιθος τρόπον ἐδόκεέ
σφι φθέγγεσθαι, ἐπεὶ τέῳ τρόπῳ ἂν πελειάς γε ἀνθρωπηίῃ
φωνῇ φθέγξαιτο; μέλαιναν δὲ λέγοντες εἶναι τὴν πελειάδα
σημαίνουσι ὅτι Αἰγυπτίη ἡ γυνὴ ἦν. ἡ δὲ μαντηίη ἥ τε ἐν 3
Θήβῃσι τῇσι Αἰγυπτίῃσι καὶ ἐν Δωδώνῃ παραπλήσιαι
ἀλλήλῃσι τυγχάνουσι ἐοῦσαι. ἔστι δὲ καὶ τῶν ἱρῶν ἡ
μαντικὴ ἀπ' Αἰγύπτου ἀπιγμένη. πανηγύριας δὲ ἄρα καὶ 58
πομπὰς καὶ προσαγωγὰς πρῶτοι ἀνθρώπων Αἰγύπτιοί εἰσι
οἱ ποιησάμενοι, καὶ παρὰ τούτων Ἕλληνες μεμαθήκασι.
τεκμήριον δέ μοι τούτου τόδε· αἱ μὲν γὰρ φαίνονται ἐκ
πολλοῦ τευ χρόνου ποιεύμεναι, αἱ δὲ Ἑλληνικαὶ νεωστὶ
ἐποιήθησαν. πανηγυρίζουσι δὲ Αἰγύπτιοι οὐκ ἅπαξ τοῦ 59
ἐνιαυτοῦ, πανηγύριας δὲ συχνάς, μάλιστα μὲν καὶ προθυμό-
τατα ἐς Βούβαστιν πόλιν τῇ Ἀρτέμιδι, δεύτερα ἐς Βούσιριν
πόλιν τῇ Ἴσι· ἐν ταύτῃ γὰρ δὴ τῇ πόλι ἐστὶ μέγιστον Ἴσιος 2
ἱρόν, ἵδρυται δὲ ἡ πόλις αὕτη τῆς Αἰγύπτου ἐν μέσῳ τῷ
Δέλτα, Ἶσις δέ ἐστι κατὰ τὴν Ἑλλήνων γλῶσσαν Δημήτηρ.
τρίτα δ' ἐς Σάϊν πόλιν τῇ Ἀθηναίῃ πανηγυρίζουσι, τέταρτα 3
δὲ ἐς Ἡλίου πόλιν τῷ Ἡλίῳ, πέμπτα δὲ ἐς Βουτοῦν πόλιν
τῇ Λητοῖ, ἕκτα δὲ ἐς Πάπρημιν πόλιν τῷ Ἄρεϊ. ἐς μέν νυν 60
Βούβαστιν πόλιν ἐπεὰν κομίζωνται, ποιεῦσι τοιάδε· πλέουσί
τε γὰρ δὴ ἅμα ἄνδρες γυναιξὶ καὶ πολλόν τι πλῆθος ἑκατέρων
ἐν ἑκάστῃ βάρι· αἱ μέν τινες τῶν γυναικῶν κρόταλα ἔχουσαι

ἐβαρβάριζε] alt. β $D^2$    6 ἂν om. a
2 ἐδόκεε P    5 αὔδα C    8 ἡ . . . Αἰγ.
γε om. d P    7 φθέγξετο R    μέλεναν $B^1$ R
om. D    9 + καὶ D    10 ἱρέων a    11 ἀπηγμένη $A^1$ D R S :
ἀπ + ηγμ. V    -γύρεις a    12 προσαγορὰς $D^1$    13 μαμαθ. D
15 τοῦ C    16 οὐχ A B    17 -γύρις A B : -γύρεις C    18 τὰ
ἐς d    Βούβαστον a (it. 25 ; c. 60 v. 8)    τὴν πόλιν R S V    + ἐς D :
⟨δὲ⟩ ἐς Stein    19 πόλει C S $D^2$ [V]    20 τῆς om. R    24 Πάμ-
πρημιν C : Πατρῆμιν S : Πρημιν $P^t$ R : Πρήμην V : Πρῖμιν D    Ἄρη(ι) a
25 πόλιν om. d    τάδε P    27 βάρει C $D^2$

2 ξαντα ἀποφορὴν ἐπιτελέειν κατ' ἐνιαυτόν. εἰ δέ τινος τοῦ
κλήρου ὁ ποταμός τι παρέλοιτο, ἐλθὼν ἂν πρὸς αὐτὸν
ἐσήμαινε τὸ γεγενημένον· ὁ δὲ ἔπεμπε τοὺς ἐπισκεψομένους
καὶ ἀναμετρήσοντας ὅσῳ ἐλάσσων ὁ χῶρος γέγονε, ὅκως
τοῦ λοιποῦ κατὰ λόγον τῆς τεταγμένης ἀποφορῆς τελέοι.
3 δοκέει δέ μοι ἐνθεῦτεν γεωμετρίη εὑρεθεῖσα ἐς τὴν Ἑλλάδα
ἐπανελθεῖν. πόλον μὲν γὰρ καὶ γνώμονα καὶ τὰ δυώδεκα
μέρεα τῆς ἡμέρης παρὰ Βαβυλωνίων ἔμαθον οἱ Ἕλληνες.

110 Βασιλεὺς μὲν δὴ οὗτος μοῦνος Αἰγύπτιος Αἰθιοπίης ἦρξε,
μνημόσυνα δὲ ἐλίπετο πρὸ τοῦ Ἡφαιστείου ἀνδριάντας
λιθίνους δύο μὲν τριήκοντα πήχεων, ἑωυτόν τε καὶ τὴν
γυναῖκα, τοὺς δὲ παῖδας ἐόντας τέσσερας, εἴκοσι πήχεων
2 ἕκαστον. τῶν δὴ ὁ ἱρεὺς τοῦ Ἡφαίστου χρόνῳ μετέπειτα
πολλῷ Δαρεῖον τὸν Πέρσην οὐ περιεῖδε ἱστάντα ἔμπροσθε
ἀνδριάντα, φὰς οὔ οἱ πεποιῆσθαι ἔργα οἷά περ Σεσώστρι
τῷ Αἰγυπτίῳ. Σέσωστριν μὲν γὰρ ἄλλα τε καταστρέψασθαι
ἔθνεα οὐκ ἐλάσσω ἐκείνου καὶ δὴ καὶ Σκύθας, Δαρεῖον δὲ
3 οὐ δυνασθῆναι Σκύθας ἑλεῖν. οὐκ ὦν δίκαιον εἶναι ἱστάναι
ἔμπροσθε τῶν ἐκείνου ἀναθημάτων μὴ οὐκ ὑπερβαλόμενον
τοῖσι ἔργοισι. Δαρεῖον μέν νυν λέγουσι πρὸς ταῦτα
συγγνώμην ποιήσασθαι.

111 Σεσώστριος δὲ τελευτήσαντος ἐκδέξασθαι ἔλεγον τὴν
βασιληίην τὸν παῖδα αὐτοῦ Φερῶν, τὸν ἀποδέξασθαι μὲν
οὐδεμίαν στρατηίην, συνενειχθῆναι δέ οἱ τυφλὸν γενέσθαι
διὰ τοιόνδε πρῆγμα· τοῦ ποταμοῦ κατελθόντος μέγιστα δὴ
τότε ἐπ' ὀκτωκαίδεκα πήχεας, ὡς ὑπερέβαλε τὰς ἀρούρας,
2 πνεύματος ἐμπεσόντος κυματίης ὁ ποταμὸς ἐγένετο. τὸν

1 ἀποτελέειν A C 2 τι om. d $P^{1}$ 4 -σαντας D γεγονέναι d 6 δὲ om. D R V 8 μέρη A B 9 μὲν (add. $P^{c}$) δὴ οὗτος a : δὲ δὴ ο. S : δὲ ο. δὴ R V : δὴ ο. δὴ D $P^{1}$ 10 ἐλείπετο B Ἡφαιστίου a 11 τριάκ. a 12 τέσσαρας C D P V 13 τῶν δὲ δὴ R S V : τὸν δὴ $D^{1}$ : τὸν δὲ δὴ $D^{c}$ (1) ἱερ. V 14 περιεῖδε C : περίιδε rell. ἔμπροσθεν d C P 15 + φὰς D οἱ om. d 16 Σέσωστρις d 17 ἔρνεα R Δαρεῖον . . . Σκύθας om. d $P^{1}$ 18 'non peius ἑστάναι' Bekker 19 ἔμπροσθεν d P ὑπερβαλόμενον P : ὑπερβαλλ. a d 23 Φέρων D P : Φέρωνα R S V 24 οὐδεμίην στρατιήν d 25 μεγίστου Krueger



δὲ βασιλέα λέγουσι τοῦτον ἀτασθαλίῃ χρησάμενον λαβόντα
αἰχμὴν βαλεῖν ἐς μέσας τὰς δίνας τοῦ ποταμοῦ, μετὰ δὲ
αὐτίκα καμόντα αὐτὸν τοὺς ὀφθαλμοὺς τυφλωθῆναι. δέκα
μὲν δὴ ἔτεα εἶναί μιν τυφλόν, ἑνδεκάτῳ δὲ ἔτεϊ ἀπικέσθαι
οἱ μαντήιον ἐκ Βουτοῦς πόλιος ὡς ἐξήκει τέ οἱ ὁ χρόνος τῆς
ζημίης καὶ ἀναβλέψει γυναικὸς οὔρῳ νιψάμενος τοὺς ὀφθαλ-
μούς, ἥτις παρὰ τὸν ἑωυτῆς ἄνδρα μοῦνον πεφοίτηκε, ἄλλων
ἀνδρῶν ἐοῦσα ἄπειρος. καὶ τὸν πρώτης τῆς ἑωυτοῦ γυναικὸς 3
πειρᾶσθαι, μετὰ δέ, ὡς οὐκ ἀνέβλεπε, ἐπεξῆς πασέων
πειρᾶσθαι· ἀναβλέψαντα δὲ συναγαγεῖν τὰς γυναῖκας τῶν
ἐπειρήθη, πλὴν ἢ τῆς τῷ οὔρῳ νιψάμενος ἀνέβλεψε, ἐς
μίαν πόλιν, ἣ νῦν καλέεται Ἐρυθρὴ βῶλος, ἐς ταύτην
συναλίσαντα ὑποπρῆσαι πάσας σὺν αὐτῇ τῇ πόλι. τῆς δὲ 4
νιψάμενος τῷ οὔρῳ ἀνέβλεψε, ταύτην δὲ ἔσχε αὐτὸς γυναῖκα.
ἀναθήματα δὲ ἀποφυγὼν τὴν πάθην τῶν ὀφθαλμῶν ἄλλα
τε ἀνὰ τὰ ἱρὰ πάντα τὰ λόγιμα ἀνέθηκε καὶ τοῦ γε λόγου
μάλιστα ἄξιόν ἐστι ἔχειν, ἐς τοῦ Ἡλίου τὸ ἱρὸν ἀξιοθέητα
ἀνέθηκε ἔργα, ὀβελοὺς δύο λιθίνους, ἐξ ἑνὸς ἐόντας ἑκάτερον
λίθου, μῆκος μὲν ἑκάτερον πήχεων ἑκατόν, εὖρος δὲ ὀκτὼ
πήχεων.

Τούτου δὲ ἐκδέξασθαι τὴν βασιληίην ἔλεγον ἄνδρα 112
Μεμφίτην, τῷ κατὰ τὴν Ἑλλήνων γλῶσσαν οὔνομα Πρωτέα
εἶναι· τοῦ νῦν τέμενός ἐστι ἐν Μέμφι κάρτα καλόν τε καὶ
εὖ ἐσκευασμένον, τοῦ Ἡφαιστείου πρὸς νότον ἄνεμον κεί-
μενον. περιοικέουσι δὲ τὸ τέμενος τοῦτο Φοίνικες Τύριοι, 2
καλέεται δὲ ὁ χῶρος οὗτος ὁ συνάπας Τυρίων στρατόπεδον.
ἔστι δὲ ἐν τῷ τεμένεϊ τοῦ Πρωτέος ἱρὸν τὸ καλέεται ξείνης
Ἀφροδίτης· συμβάλλομαι δὲ τοῦτο τὸ ἱρὸν εἶναι Ἑλένης
τῆς Τυνδάρεω, καὶ τὸν λόγον ἀκηκοὼς ὡς διαιτήθη Ἑλένη

2 βαλέειν L 4 ἀναπικέσθαι S V 9 ἀνέβλεψε d P 10 δὲ om. V 13 συναυλίσαντα R (-ας) V τὴν πόλιν (-λει C S V : -λῖ P) ut vid., $D^{1}$ 14 ἔσχε Krueger : εἶχε L 16 λόγημα $D^{1}$ καὶ . . . ἀνέθηκε om. $B^{1}$ 17 σχεῖν d 18 ἐόντα a 22 Ἑλλήνων d P Eustath. Od. 1500: τῶν Ἑ. a 28 συμβάλλομαι . . . ξείνης Ἀ. om. R δὲ om. d [R] εἶναι + + D Ἑλένης ex corr. $D^{1}$ 29 ἐδιαιτήθη d [R]

παρὰ Πρωτέϊ, καὶ δὴ καὶ ὅτι ξείνης Ἀφροδίτης ἐπώνυμόν
ἐστι· ὅσα γὰρ ἄλλα Ἀφροδίτης ἱρά ἐστι, οὐδαμῶς ξείνης
113 ἐπικαλέεται. ἔλεγον δέ μοι οἱ ἱρέες ἱστορέοντι τὰ περὶ
Ἑλένην γενέσθαι ὧδε· Ἀλέξανδρον ἁρπάσαντα Ἑλένην ἐκ
Σπάρτης ἀποπλέειν ἐς τὴν ἑωυτοῦ· καί μιν, ὡς ἐγένετο ἐν
τῷ Αἰγαίῳ, ἐξῶσται ἄνεμοι ἐκβάλλουσι ἐς τὸ Αἰγύπτιον
πέλαγος, ἐνθεῦτεν δέ (οὐ γὰρ ἀνίει τὰ πνεύματα) ἀπικνέεται
ἐς Αἴγυπτον καὶ Αἰγύπτου ἐς τὸ νῦν Κανωβικὸν καλεύμενον
2 στόμα τοῦ Νείλου καὶ ἐς Ταριχείας. ἦν δὲ ἐπὶ τῆς ἠιόνος,
τὸ καὶ νῦν ἐστι, Ἡρακλέος ἱρόν, ἐς τὸ ἢν καταφυγὼν οἰκέτης
ὅτευ ὦν ἀνθρώπων ἐπιβάληται στίγματα ἱρά, ἑωυτὸν διδοὺς
τῷ θεῷ, οὐκ ἔξεστι τούτου ἅψασθαι. ὁ νόμος οὗτος διατελέει
3 ἐὼν ὅμοιος τὸ μέχρι ἐμεῦ ἀπ᾽ ἀρχῆς. τοῦ ὦν δὴ Ἀλεξάνδρου
ἀπιστέαται θεράποντες πυθόμενοι τὸν περὶ τὸ ἱρὸν ἔχοντα
νόμον, ἱκέται δὲ ἱζόμενοι τοῦ θεοῦ κατηγόρεον τοῦ Ἀλεξάν-
δρου, βουλόμενοι βλάπτειν αὐτόν, πάντα λόγον ἐξηγεύμενοι
ὡς εἶχε περὶ τὴν Ἑλένην τε καὶ τὴν ἐς Μενέλεων ἀδικίην·
κατηγόρεον δὲ ταῦτα πρός τε τοὺς ἱρέας καὶ τὸν τοῦ
114 στόματος τούτου φύλακον, τῷ οὔνομα ἦν Θῶνις. ἀκούσας
δὲ τούτων ὁ Θῶνις πέμπει τὴν ταχίστην ἐς Μέμφιν παρὰ
2 Πρωτέα ἀγγελίην λέγουσαν τάδε· Ἥκει ξεῖνος, γένος μὲν
Τευκρός, ἔργον δὲ ἀνόσιον ἐν τῇ Ἑλλάδι ἐξεργασμένος·
ξείνου γὰρ τοῦ ἑωυτοῦ ἐξαπατήσας τὴν γυναῖκα αὐτήν τε
ταύτην ἄγων ἥκει καὶ πολλὰ κάρτα χρήματα, ὑπὸ ἀνέμων ἐς
γῆν τὴν σὴν ἀπενειχθείς· κότερα δῆτα τοῦτον ἐῶμεν ἀσινέα
3 ἐκπλέειν ἢ ἀπελώμεθα τὰ ἔχων ἦλθε; ἀντιπέμπει πρὸς
ταῦτα ὁ Πρωτεὺς λέγων τάδε· Ἄνδρα τοῦτον, ὅστις κοτέ

1 ἐπώνυμόν (alt. ν ex corr. D²: ἐπωνύμιόν A B) . . . Ἀφροδίτης om. C 2 ἄλλης d P ξείνη d 8 νῦν om. d P¹ 9 κιόνος S V 10 ὃ καὶ L ἱκέτης, ut vid., P¹ 11 ὅτευ ὦν Bekker: ὅτεῳ(ι) L ἐπιβέβληται C: ἐπιλάβηται d P¹ ἑαυτὸν D R V 12 οὕτως R 13 τὸ (τῶ D) post ἐμεῦ a P (τῷ) τοῦ ὦν] τούτων B¹ 14 ἀπιστέαται . . . Ἀλεξ. (15) om. R 16 ἐξηγ + εύμενοι D 17 Μενέλεον D¹: -λαον R ἀδικίην] ί Dᶜ 18 ἱερ. V 19 τούτου om. S V 22 ἐργασμ. D P: ἐργασάμενος R S V 23 τὴν om. D γε d 25 τὴν σὴν] ταύτην a ἀπενεχθεὶς d 26 ἀφελ. L (-όμεθα R) 27 λέγων Herwerden: λέγοντα a P: λέγοντας d



ἐστι ⟨ὁ⟩ ἀνόσια ἐξεργασμένος ξεῖνον τὸν ἑωυτοῦ, συλλαβόντες
ἀπάγετε παρ᾽ ἐμέ, ἵνα εἰδέω τί κοτε καὶ λέξει. ἀκούσας 115
δὲ ταῦτα ὁ Θῶνις συλλαμβάνει τὸν Ἀλέξανδρον καὶ τὰς
νέας αὐτοῦ κατίσχει, μετὰ δὲ αὐτόν τε τοῦτον ἀνήγαγε ἐς
Μέμφιν καὶ τὴν Ἑλένην τε καὶ τὰ χρήματα, πρὸς δὲ καὶ
τοὺς ἱκέτας. ἀνακομισθέντων δὲ πάντων εἰρώτα τὸν 2
Ἀλέξανδρον ὁ Πρωτεὺς τίς εἴη καὶ ὁκόθεν πλέοι. ὁ δέ οἱ
καὶ τὸ γένος κατέλεξε καὶ τῆς πάτρης εἶπε τὸ οὔνομα καὶ
δὴ καὶ τὸν πλόον ἀπηγήσατο ὁκόθεν πλέοι. μετὰ δὲ ὁ 3
Πρωτεὺς εἰρώτα αὐτὸν ὁκόθεν τὴν Ἑλένην λάβοι· πλανω-
μένου δὲ τοῦ Ἀλεξάνδρου ἐν τῷ λόγῳ καὶ οὐ λέγοντος τὴν
ἀληθείην ἤλεγχον οἱ γενόμενοι ἱκέται ἐξηγεύμενοι πάντα
λόγον τοῦ ἀδικήματος. τέλος δὲ δή σφι λόγον τόνδε 4
ἐκφαίνει ὁ Πρωτεύς, λέγων ὅτι Ἐγὼ εἰ μὴ περὶ πολλοῦ
ἡγεύμην μηδένα ξείνων κτείνειν, ὅσοι ὑπ᾽ ἀνέμων ἤδη
ἀπολαμφθέντες ἦλθον ἐς χώρην τὴν ἐμήν, ἐγὼ ἄν σε ὑπὲρ
τοῦ Ἕλληνος ἐτεισάμην, ὅς, ὦ κάκιστε ἀνδρῶν, ξεινίων
τυχὼν ἔργον ἀνοσιώτατον ἐργάσαο· παρὰ τοῦ σεωυτοῦ
ξείνου τὴν γυναῖκα ἦλθες· καὶ μάλα ταῦτά τοι οὐκ ἤρκεσε,
ἀλλ᾽ ἀναπτερώσας αὐτὴν οἴχεαι ἔχων [ἐκκλέψας]. καὶ 5
οὐδὲ ταῦτά τοι μοῦνα ἤρκεσε, ἀλλὰ καὶ τὰ οἰκία τοῦ ξείνου
κεραΐσας ἥκεις. νῦν ὦν ἐπειδὴ περὶ πολλοῦ ἥγημαι μὴ 6
ξεινοκτονέειν, γυναῖκα μὲν ταύτην καὶ τὰ χρήματα οὔ τοι
προήσω ἀπάγεσθαι, ἀλλ᾽ αὐτὰ ἐγὼ τῷ Ἕλληνι ξείνῳ φυλάξω,
ἐς ὃ ἂν αὐτὸς ἐλθὼν ἐκεῖνος ἀπαγαγέσθαι ἐθέλῃ· αὐτὸν δέ
σε καὶ τοὺς σοὺς συμπλόους τριῶν ἡμερέων προαγορεύω ἐκ

1 ὁ add. Krueger ἀνόσιον C ἐργασμένος a 2 εἰδῶ L ὅ τι a 3 τοῦτο d P 4 ἀνῆγε(ν) d P 6 ἠρώτα C P D² (it. 10) 8 ὄνομα C 12 οικέται S V 13 δή om. d P 14 ἐκφαίνων R V 15 δὴ d P¹ 16 ἀπολα + φθέντες B ἄν] γάρ R 17 ἐτισ. L ὅς ὦ] ὅσων D: ὅσον R S V 18 ἀνόσιον d 19 ἔχων ἦλθες d 20 οἴχεται R V: οἴχου S ἐκκλέψας om. d P¹ 21 τὰ d Eustath. Il. 364: om. a P 22 οὖν R V 23 ξεινοκτέειν V: -κτενέειν R S 25 ἐὰν a ἐκεῖνος ἐλθὼν a θέλῃ d 26 προ + αγ. D

τῆς ἐμῆς γῆς ἐς ἄλλην τινὰ μετορμίζεσθαι, εἰ δὲ μή, ἅτε πολεμίους περιέψεσθαι.

116 Ἑλένης μὲν ταύτην ἄπιξιν παρὰ Πρωτέα ἔλεγον οἱ ἱρέες γενέσθαι· δοκέει δέ μοι καὶ Ὅμηρος τὸν λόγον τοῦτον πυθέσθαι· ἀλλ' οὐ γὰρ ὁμοίως ἐς τὴν ἐποποιίην εὐπρεπὴς ἦν τῷ ἑτέρῳ τῷ περ ἐχρήσατο, [ἐς ὃ] μετῆκε
2 αὐτόν, δηλώσας ὡς καὶ τοῦτον ἐπίσταιτο τὸν λόγον. δῆλον δέ, κατὰ παρεποίησε ἐν Ἰλιάδι (καὶ οὐδαμῇ ἄλλῃ ἀνεπόδισε ἑωυτόν) πλάνην τὴν Ἀλεξάνδρου, ὡς ἀπηνείχθη ἄγων Ἑλένην τῇ τε δὴ ἄλλῃ πλαζόμενος καὶ ὡς ἐς Σιδῶνα τῆς
3 Φοινίκης ἀπίκετο. ἐπιμέμνηται δὲ αὐτοῦ ἐν Διομήδεος ἀριστείῃ· λέγει δὲ τὰ ἔπεα ὧδε·

ἔνθ' ἔσαν οἱ πέπλοι παμποίκιλοι, ἔργα γυναικῶν
Σιδονίων, τὰς αὐτὸς Ἀλέξανδρος θεοειδὴς
ἤγαγε Σιδονίηθεν, ἐπιπλὼς εὐρέα πόντον,
τὴν ὁδὸν ἣν Ἑλένην περ ἀνήγαγεν εὐπατέρειαν.

4 [ἐπιμέμνηται δὲ καὶ ἐν Ὀδυσσείῃ ἐν τοισίδε τοῖσι ἔπεσι·

τοῖα Διὸς θυγάτηρ ἔχε φάρμακα μητιόεντα,
ἐσθλά, τά οἱ Πολύδαμνα πόρεν Θῶνος παράκοιτις
Αἰγυπτίη, τῇ πλεῖστα φέρει ζείδωρος ἄρουρα
φάρμακα, πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά.

5 καὶ τάδε ἕτερα πρὸς Τηλέμαχον Μενέλεως λέγει·

Αἰγύπτῳ μ' ἔτι δεῦρο θεοὶ μεμαῶτα νέεσθαι
ἔσχον, ἐπεὶ οὔ σφιν ἔρεξα τεληέσσας ἑκατόμβας.]

6 ἐν τούτοισι τοῖσι ἔπεσι δηλοῖ ὅτι ἠπίστατο τὴν ἐς Αἴγυπτον Ἀλεξάνδρου πλάνην· ὁμουρέει γὰρ ἡ Συρίη Αἰγύπτῳ, οἱ δὲ Φοίνικες, τῶν ἐστι ἡ Σιδών, ἐν τῇ Συρίῃ οἰκέουσι.

1 ἐς om. d μετορίζεσθαι D : μετεωρίζεσθαι RSV 6 ἐς ὃ del. Bekker μεθῆκεν d 7 ἐπίσταται A[1]C 8 παρεποίησε Bekker : γὰρ ἐποίησε L ἐν om. d 9 ἀπηνέχθη B[1] ἄγω RV 12 οὕτω a 13 ἔσ + αν B 14 Σιδονίων] ο D[c] ἃς a 17–24 del. Schaefer 17 τοῖσδε BCDPRV 21 ἐσθλὰ om. R 22 Μενέλεος AB[1]V 23 δετι RS : δή τι V 24 ἴσχον a σφιν ἔρξα C : σφι ῥέξα (-ες S) d τελήέσας DR : τελευτήσας C 27 ὧν D ἐστι ἡ Σιδών om. SV



κατὰ ταῦτα δὲ τὰ ἔπεα καὶ τόδε τὸ χωρίον οὐκ ἥκιστα 117
ἀλλὰ μάλιστα δηλοῖ ὅτι οὐκ Ὁμήρου τὰ Κύπρια ἔπεά ἐστι ἀλλ' ἄλλου τινός· ἐν μὲν γὰρ τοῖσι Κυπρίοισι εἴρηται ὡς τριταῖος ἐκ Σπάρτης Ἀλέξανδρος ἀπίκετο ἐς τὸ Ἴλιον ἄγων Ἑλένην, εὐαέϊ τε πνεύματι χρησάμενος καὶ θαλάσσῃ λείῃ· ἐν δὲ Ἰλιάδι λέγει ὡς ἐπλάζετο ἄγων αὐτήν. Ὅμηρος μέν νυν καὶ τὰ Κύπρια ἔπεα χαιρέτω.

Εἰρομένου δέ μευ τοὺς ἱρέας εἰ μάταιον λόγον λέγουσι 118
οἱ Ἕλληνες τὰ περὶ Ἴλιον γενέσθαι ἢ οὔ, ἔφασαν πρὸς ταῦτα τάδε, ἱστορίῃσι φάμενοι εἰδέναι παρ' αὐτοῦ Μενέλεω·
ἐλθεῖν μὲν γὰρ μετὰ τὴν Ἑλένης ἁρπαγὴν ἐς τὴν Τευκρίδα 2
γῆν Ἑλλήνων στρατιὴν πολλὴν βοηθεῦσαν Μενέλεῳ, ἐκβᾶσαν δὲ ἐς γῆν καὶ ἱδρυθεῖσαν τὴν στρατιὴν πέμπειν ἐς τὸ Ἴλιον ἀγγέλους, σὺν δέ σφι ἰέναι καὶ αὐτὸν Μενέλεων.
τοὺς δ' ἐπείτε ἐσελθεῖν ἐς τὸ τεῖχος, ἀπαιτέειν Ἑλένην τε 3
καὶ τὰ χρήματα τά οἱ οἴχετο κλέψας Ἀλέξανδρος, τῶν τε ἀδικημάτων δίκας αἰτέειν· τοὺς δὲ Τευκροὺς τὸν αὐτὸν λόγον λέγειν τότε καὶ μετέπειτα, καὶ ὀμνύντας καὶ ἀνωμοτί, μὴ μὲν ἔχειν Ἑλένην μηδὲ τὰ ἐπικαλεύμενα χρήματα, ἀλλ' εἶναι αὐτὰ πάντα ἐν Αἰγύπτῳ, καὶ οὐκ ἂν δικαίως αὐτοὶ δίκας ὑπέχειν, ἃ Πρωτεὺς ὁ Αἰγύπτιος [βασιλεὺς] ἔχει.
οἱ δὲ Ἕλληνες καταγελᾶσθαι δοκέοντες ὑπ' αὐτῶν οὕτω 4
δὴ ἐπολιόρκεον, ἐς ὃ ἐξεῖλον· ἑλοῦσι δὲ τὸ τεῖχος ὡς οὐκ ἐφαίνετο ἡ Ἑλένη, ἀλλὰ τὸν αὐτὸν λόγον τῷ προτέρῳ ἐπυνθάνοντο, οὕτω δὴ πιστεύσαντες τῷ λόγῳ τῷ πρώτῳ οἱ Ἕλληνες αὐτὸν Μενέλεων ἀποστέλλουσι παρὰ Πρωτέα.
ἀπικόμενος δὲ ὁ Μενέλεως ἐς τὴν Αἴγυπτον καὶ ἀναπλώσας 119
ἐς τὴν Μέμφιν, εἴπας τὴν ἀληθείην τῶν πρηγμάτων, καὶ ξεινίων ἤντησε μεγάλων καὶ Ἑλένην ἀπαθέα κακῶν ἀπέλαβε,

1 τὸ χωρίον del. Valckenaer 2 ἔπεά om. SV 4 ἐς om. R 5 τε om. a 6 αὐτὴν ἄγων DRV 7 χαιρέτω] αι D[c] 11 μὲν om. a 12 γῆν d : τὴν aP 13 πέμπει DRV 15 δ' om. d 16 τὰ supra v. D[1] οἱ om. dP 18 ἀνωμοτί] ω D[2] 19 ἐπικελ. B 21 ἃ] τῶν Struve βασιλεὺς del. Cobet 24 ἡ om. aP 28 εἴπας] ας ex corr. D[1] πραγμ. V

2 πρὸς δὲ καὶ τὰ ἑωυτοῦ χρήματα πάντα. τυχὼν μέντοι
τούτων ἐγένετο Μενέλεως ἀνὴρ ἄδικος ἐς Αἰγυπτίους·
ἀποπλέειν γὰρ ὁρμημένον αὐτὸν ἴσχον ἄπλοιαι· ἐπειδὴ
δὲ τοῦτο ἐπὶ πολλὸν τοιοῦτον ἦν, ἐπιτεχνᾶται πρῆγμα
3 οὐκ ὅσιον· λαβὼν γὰρ δύο παιδία ἀνδρῶν ἐπιχωρίων
ἔντομά σφεα ἐποίησε· μετὰ δὲ ὡς ἐπάϊστος ἐγένετο τοῦτο
ἐργασμένος, μισηθείς τε καὶ διωκόμενος οἴχετο φεύγων
τῇσι νηυσὶ ἰθὺ Λιβύης. τὸ ἐνθεῦτεν δὲ ὅκου ἔτι ἐτράπετο,
οὐκ εἶχον εἰπεῖν Αἰγύπτιοι· τούτων δὲ τὰ μὲν ἱστορίῃσι
ἔφασαν ἐπίστασθαι, τὰ δὲ παρ᾽ ἑωυτοῖσι γενόμενα ἀτρεκέως
ἐπιστάμενοι λέγειν.

120 Ταῦτα μὲν Αἰγυπτίων οἱ ἱρέες ἔλεγον, ἐγὼ δὲ τῷ λόγῳ
τῷ περὶ Ἑλένης λεχθέντι καὶ αὐτὸς προστίθεμαι, τάδε
ἐπιλεγόμενος· εἰ ἦν Ἑλένη ἐν Ἰλίῳ, ἀποδοθῆναι ἂν αὐτὴν
τοῖσι Ἕλλησι ἤτοι ἑκόντος γε ἢ ἀέκοντος Ἀλεξάνδρου.
2 οὐ γὰρ δὴ οὕτω γε φρενοβλαβὴς ἦν ὁ Πρίαμος οὐδὲ οἱ
ἄλλοι ⟨οἱ⟩ προσήκοντες αὐτῷ, ὥστε τοῖσι σφετέροισι
σώμασι καὶ τοῖσι τέκνοισι καὶ τῇ πόλι κινδυνεύειν ἐβού-
3 λοντο, ὅκως Ἀλέξανδρος Ἑλένῃ συνοικέῃ. εἰ δέ τοι καὶ
ἐν τοῖσι πρώτοισι χρόνοισι ταῦτα ἐγίνωσκον, ἐπεὶ πολλοὶ
μὲν τῶν ἄλλων Τρώων, ὁκότε συμμίσγοιεν τοῖσι Ἕλλησι,
ἀπώλλυντο, αὐτοῦ δὲ Πριάμου οὐκ ἔστι ὅτε οὐ δύο ἢ τρεῖς
ἢ καὶ ἔτι πλέους τῶν παίδων μάχης γινομένης ἀπέθνῃσκον,
εἰ χρή τι τοῖσι ἐποποιοῖσι χρεώμενον λέγειν, τούτων δὲ
τοιούτων συμβαινόντων ἐγὼ μὲν ἔλπομαι, εἰ καὶ αὐτὸς
Πρίαμος συνοίκεε Ἑλένῃ, ἀποδοῦναι ἂν αὐτὴν τοῖσι
Ἀχαιοῖσι, μέλλοντά γε δὴ τῶν παρεόντων κακῶν ἀπαλλαγή-

3 ὡρμ. C D P R S 4 τοῦτο ἐπὶ a P Const. : τὸ d ἐπιτεχνᾶται γὰρ R S V 5 οὐκούσιον λαβὼν R ἐγχωρίων d 7 εἰργ. D R V : ἐργασάμενος C μισωθεὶς d P[1] δὲ D R V ὤ(ι)χετο d P 8 ἰθὺ Valckenaer : ἰθὺ ἐπὶ Plut. mor. 857 : ἐπὶ L ἐτράπ. ἔτι οὐκ d : ἐτράπ. οὐκέτι P 10 ἑαυτ. A B 13 ἀχθ. C P[m] 14 ἂν om. d P[1] 15 ἄκοντος L 17 οἱ add. Bekker 18 τῇ om. a πόλει a S [V] 19 τι C R S V 20 ἐγίγν. D P R 22 ἀπώλυντο V : ἀπόλοιντο S οὐ] ἢ a 23 καὶ om. C πλείους L γενομένης a S 26 Πρίαμος in marg. D[1] οἴκεε(ν) d : corr. D[1] ἂν om. S V 27 μέλλοντά] ἑ D[c] γε] γ D[c]



σεσθαι. οὐ μὲν οὐδὲ ἡ βασιληίη ἐς Ἀλέξανδρον περιήϊε, 4
ὥστε γέροντος Πριάμου ἐόντος ἐπ᾽ ἐκείνῳ τὰ πρήγματα
εἶναι, ἀλλὰ Ἕκτωρ καὶ πρεσβύτερος καὶ ἀνὴρ ἐκείνου
μᾶλλον ἐὼν ἔμελλε αὐτὴν Πριάμου ἀποθανόντος παρα-
λάμψεσθαι, τὸν οὐ προσῆκε ἀδικέοντι τῷ ἀδελφεῷ ἐπιτρέπειν,
καὶ ταῦτα μεγάλων κακῶν δι᾽ αὐτὸν συμβαινόντων ἰδίῃ τε
αὐτῷ καὶ τοῖσι ἄλλοισι πᾶσι Τρωσί. ἀλλ᾽ οὐ γὰρ εἶχον 5
Ἑλένην ἀποδοῦναι οὐδὲ λέγουσι αὐτοῖσι τὴν ἀληθείην
ἐπίστευον οἱ Ἕλληνες, ὡς μὲν ἐγὼ γνώμην ἀποφαίνομαι,
τοῦ δαιμονίου παρασκευάζοντος ὅκως πανωλεθρίῃ ἀπολό-
μενοι καταφανὲς τοῦτο τοῖσι ἀνθρώποισι ποιήσωσι, ὡς
τῶν μεγάλων ἀδικημάτων μεγάλαι εἰσὶ καὶ αἱ τιμωρίαι
παρὰ τῶν θεῶν. καὶ ταῦτα μὲν τῇ ἐμοὶ δοκέει εἴρηται.

Πρωτέος δὲ ἐκδέξασθαι τὴν βασιληίην Ῥαμψίνιτον 121
ἔλεγον, ὃς μνημόσυνα ἐλίπετο τὰ προπύλαια τὰ πρὸς
ἑσπέρην τετραμμένα τοῦ Ἡφαιστείου, ἀντίους δὲ τῶν προ-
πυλαίων ἔστησε ἀνδριάντας δύο, ἐόντας τὸ μέγαθος πέντε
καὶ εἴκοσι πήχεων, τῶν Αἰγύπτιοι τὸν μὲν πρὸς βορέω
ἑστεῶτα καλέουσι θέρος, τὸν δὲ πρὸς νότον χειμῶνα· καὶ
τὸν μὲν καλέουσι θέρος, τοῦτον μὲν προσκυνέουσί τε καὶ
εὖ ποιέουσι, τὸν δὲ χειμῶνα καλεόμενον τὰ ἔμπαλιν τούτων
ἔρδουσι. πλοῦτον δὲ τούτῳ τῷ βασιλέϊ γενέσθαι ἀργύρου 2
μέγαν, τὸν οὐδένα τῶν ὕστερον ἐπιτραφέντων βασιλέων
δύνασθαι ὑπερβαλέσθαι οὐδ᾽ ἐγγὺς ἐλθεῖν. βουλόμενον
δὲ αὐτὸν ἐν ἀσφαλείῃ τὰ χρήματα θησαυρίζειν οἰκοδο-
μέεσθαι οἴκημα λίθινον, τοῦ τῶν τοίχων ἕνα ἐς τὸ ἔξω
μέρος τῆς οἰκίης ἔχειν. τὸν δὲ ἐργαζόμενον ἐπιβουλεύοντα
τάδε μηχανᾶσθαι· τῶν λίθων παρασκευάσασθαι ἕνα ἐξαι-
ρετὸν εἶναι ἐκ τοῦ τοίχου ῥηιδίως καὶ ὑπὸ δύο ἀνδρῶν καὶ

2 ὑπ᾽ d 3 ἀλλὰ] ἀλλὰ καὶ R S V καὶ . . ἀνὴρ om. a alt. καὶ om. D[1] 4 παραλάμψασθαι C D S V : παραλάψεσθαι Laur. lxx. 6 6 τε] τε καὶ a P[c] 7 ἄλλοι R 10 πανολ. D[1] V 13 ἐμοὶ om. d 14 Ῥαψ. R V (-ητον S V) 16 Ἡφαιστίου a 18 βορέην D[2] 19 τὸν δὲ . . . θέρος om. B P καὶ . . . χειμῶνα (21) om. d 21 τὸν δὲ πρὸς νότον χειμ. καλεόμ. P 23 ἔτι γραφέντων d 24 ὑπερβαλλέσθαι V 25 οἰκονομ. S V